# TEZAUR LITURGIC

## 20 OCTOMBRIE

# SLUJBA SF.CUVIOS-MUCENIC IOSAFAT DE LA KRIPTOFERIS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 20 ΟΚΤΩΒΡΙΟΣ
# ΙΩΣΑΦΑΤ ΙΕΡΟΜΑΡΤΥΣ
# ΚΑΤΑΘΕΣΙΣ ΛΕΙΨΑΝΩΝ
# ΑΚΟΛΟΥΘΙΑ

## ΕΣΠΕΡΙΝΟΣ

Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Προσόμοια· γ΄ τῆς Ὀκτωήχου καὶ γ΄ τοῦ Ἁγίου. Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.

Ἐδόξασας τὸν Θεὸν ἐν τῇ σαρκί σου, θανὼν ὑπὲρ τῆς ποίμνης Χριστοῦ ἑνώσεως, Ἰωσαφὰτ διὸ Κύριος, ὁ ἀθλοθέτης, σὲ δοξάζει ἐπὶ γῆς ἐν σώματι, καὶ γὰρ ἀδιάφθορον σὸν διετήρησεν, νέκυν καὶ τὴν σάρκα θάλλουσαν, ὅθεν θανόντος, ἰδοντες ὄψιν σου ἐπεστράφησαν, οἱ σὲ μισοῦντες, ἡμεῖς δὲ μᾶλλον ἐπὶ σοὶ αεὶ θαῤῥοῦντες κράζομεν· Χριστὸν δυσώπει Μάρτυς, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Εὔοσμον θυσίαν ἤνεγκας τὸ σῶμα, διὰ σῆς παρθενίας Θεῷ ἰσάγγελε, Ἰωσαφὰτ καὶ τὸ ἄμωμον, ἐν μετανοίᾳ, τη σκληρᾷ θῦμα ἀσκήσας ἔσφαξας, διὸ μετὰ θάνατον θαυμαστῶς Κύριος, σὸν δέμας περιβάλετο, τῇ ἀφθαρσίᾳ, σὺ δ’ ἐν ὑψίστοις γηθεῖς δεχόμενος, μετὰ παρθένων, τὸν ὕμνον μὲν ᾄδων καινὸν τῷ δὲ αμνῷ ἑπόμενος, δυσώπει ἐν ἁγνείᾳ, φυλαχθῆναι τὰς ψυχὰς ἡμῶν.

Λειψάνων παρ’ ἡμῖν τροπαῖον ὑψοῦται, τῶν Ἱερομάρτυρος τὸ μὲν χαρμόσυνον, τοῖς σὲ Ἀγγέλοις γεραίρουσιν, τοῖς δὲ ἀνθρώποις, σὲ εὐφημοῦσι γέρας τὸ ἔνδοξον, ἀλλὰ τοῖς δαίμοσιν ἧττα ἡ ὀλέθριος, ἡμῖν δὲν φρουρὰ ἀήττητος, αὐτὰ τιμῶντες, ἡμῶν προστάτην ἔνδοξον Μάρτυρα, πίστει καὶ πόθῳ, τὸν Ἰωσαφὰτ ἱκετεύομεν ὅπως δεόμενος, τοῦ Χριστοῦ οὐ μὴ παύσῃ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος β΄.

Ἡ τῶν λειψάνων σου θήκη ὦ Μάρτυς Ἱεράρχα, πηγάζει ἰάματα, καὶ τοῦ βραχίονός σου τὰ ἅγια μέρη, ἐν πίστει σεβόμενοι, τῆς ἰσχύος πληροῦσθαι τῆς δεξιᾶς Ὑψίστου, ταῖς εὐχαῖς σου αἰτοῦμεν, ὥστε μετὰ σοῦ νικᾷν, εχθροὺς τοὺς ζοφερούς, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΟΡΘΡΟΣ

Μετὰ τὴν συνήθη στιχολογίαν, τὰ καθίσματα τῆς Ὀκτωήχου καὶ οἱ Κανόνες· τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: Ἔμοιγε νῦν ᾄδειν Ἰωσαφὰτ πόθος. Ἐν δὲ τοῖς Θεοτοκίοις: Θεοδώρου.

ᾨδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ.

Ἐν ταῖς λαμπρότησι ὦ Λόγε τοῦ Πατρός, γεννηθεὶς Ἁγίων Σου, δός μοι λόγον ἀγαθέ, ὅπως Ἰωσαφὰτ εὐσεβῶς, ἐν ὕμνοις πνευματικοῖς, μέλπω τὸν δοῦλόν Σου.

Μέγας ὡς ἥλιος λάμπων ταῖς διδαχαῖς, τὸ σκότος κατηύγασας, τῆς ἀσεβείας σοφέ, ἀληθείας τε σοῦ τῷ φωτί, Ἱεράρχα τὴν ὁδόν, τῶν πλάνων ὤρθωσας.
Θεοτοκίον.
Θαῦμα πυρίπλοκον χαῖρε ὢ Μαριάμ, μόνη κατὰ στέρησιν, Σὺ ἄβατος τῇ φθορᾷ, τῆς ἁμαρτίας ὑπερφυῶς, Σὲ ἑώρακεν Μωσῆς, τὴν βάτον ἄφλεκτον.

ᾨδὴ γ΄. Οὐκ ἔστι Ἅγιος.
Ἰησοῦ τὴν πτωχείαν σύ, προθύμως ἀγαπήσας, κατεπάτησας Πάτερ, πάντα τῆς γῆς τὰ φθαρτά, γενέσθαι ἐπιποθῶν, κληρονόμον, μόνον τοῦ Κυρίου Σου.
Γενναίως μὲν τὸ σῶμά σου, ποτὲ ὑποπιάζων, ἀνεσταύρους τὴν σάρκα, τοῦ Χριστοῦ ὡς μαθητής, οὐρανόθεν δὲ τὸ φῶς, ἀναπλῆσαν, ὤφθη τὸ ταμεῖόν Σου.
Ἐκ βρέφους ἀσκησάμενος, παρθενικὴν ἁγνείαν, ἀκιβδήλως ἐτήρεις, καὶ πάλαι μὴ πειρασθείς, τῷ ῥοπάλῳ κραταιῶς, τὴν γυναῖκα, λιρὴν ἐφυγάδευσας.
Θεοτοκίον.
Ἐν Σοὶ Παρθένε πεποιθώς, Ἰωσαφὰτ ἐνίκᾳ, τοὺς ἐχθροὺς Σοὶ τὴν ὅλην, τὴν ζωὴν ἀνατιθείς, Σὲ γὰρ εὗρε τὴν θερμήν, προστασίαν, Παναγία Δέσποινα.

Κάθισμα. Ἦχος γ΄. Τὴν ωραιότητα.
Ἐν ὡραιότητι, τῆς παρθενίας σου, καὶ ὡραιότατον, εἶδον τὸ σῶμά σου, Ἄγγελοι πάντες καὶ βροτοί, διὸ

τηρήσας Κύριος, αὐτὸ ἀδιάφθορον, ὀσμὴν ἁγνείας ἔδωκεν, σκέπην καὶ βοήθειαν, καὶ πηγὴν ἁγιάσματος, τοῖς πίστει τῶν λειψάνων σου κατάθεσιν, Ἰωσάφατ ἑορτάζουσιν.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι Θεοτόκε· Ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον, τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

ᾨδὴ δ΄. Χριστός μου δύναμις.
Ναμάτων Ὅσιε, ἐκ τῶν χειλέων σου, ἐκχυθέντων εὐφραίνει, τὴν τοῦ Θεοῦ πόλιν τὰ ὁρμήματα, δι' ὧν οἱ πλάνοι σφαλερᾶς, ἀπὸ τῆς ὁδοῦ ἀφίσταντο.
Ὑπονοούμενος, Θεοῦ ὡς Ἄγγελος, τοῖς ἀνθρώποις ἐγνώσθης, ἅπασιν ὥσπερ θαῦμα παράδοξον, διὰ σοῦ τὸ ἐπιεικές, μοναστῶν τὸ ἐγκαλλώπισμα.
Νομεὺς εὐδάπανος, τὸν πλοῦτον Ἅγιε, δαψιλέως σκορπίσας, τοῖς πτωχοῖς ἔδωκας οἰκτισάμενος, τὴν πενιχρὰν χήραν το σόν, ὠμοφόριον ὑπέθηκας.
Θεοτοκίον.
Ὁ ὢν ἀχώρητος, ἐν Σοὶ πανάχραντε, χωρισθεὶς ἐσαρκώθη, ὁ Λόγος τοῦ Πατρὸς διὸ Δέσποινα, πᾶσαι πιστῶς αἱ γενεαί, εἰσαεὶ μακαριοῦσί Σε.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει.
Ἀδιαλείπτοις ταῖς μελεταῖς, καὶ θεωρίαις ἀγγελικῶς, θείαις ἀδολεσχοῦν ἔσκαλλε, σοῦ τὸ πνεῦμα Πάτερ, διόπερ σὺν τῷ Χριστῷ, ἐν Θεῷ ἡ ζωῇ σου, παμμάκαρ κέκρυπται.
Δέσποτα Κύριε ὁ Θεός, παράσχου πᾶσιν ἀναστροφήν, τοῖς πλαζομένοις Σοῦ δέομαι, καὶ τὴν τῆς ἀχράντου, ἑνότητα αληθῆ, δὸς πίστεως σὺν πόθῳ, οὕτως ἱκέτευσας.
Ἐπιβεβηκότι σοι φρικτῷ, ὦ μύστα τῷ βήματι ποτέ, οἱ Ἄγγελοι παριστάμενοι, καὶ συλλειτουργοῦντες, ἐφάνησαν τοῖς πολλοῖς, σὴν ἐπιμαρτυροῦντες, τὴν καθαρότητα.
Θεοτοκίον.
Δέσποινα Κόρη Μήτηρ Θεοῦ, θαυμαστῷ τῷ φέγγει Σου τὸν Σόν, δοῦλον ἐμφανῶς κατηύγασας, ὅταν αἱ ἀκτῖνες, ἀνακύπτουσαι ἐκ Σοῦ, τῆς ἁγίας εἰκόνος, αὐτὸν ἀνείλκυσαν.

Ὠδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν.
Ἱερέων πέφυκας, τηλαυγέστατος λαμπτήρ, καὶ Μαρτύρων ἀγλάϊσμα, κλέος Ὁσίων καὶ Ὁμολογητῶν, Πάτερ ἐγκαλλώπισμα, σὲ Θεὸς οὖν ἀξίως, ἐμακάρισε.
Ναζαραῖα τάγματα, τῷ Χριστῷ νυμφαγωγέ, Ἰωσαφὰτ ὁδηγησας, ἐν τρίβοις ἁγίαις τῆς ἀσκήσεως, διὸ παρθένοι αγναί, ἀμνῷ ἐν ὀσμῇ μύρων, ἠκολούθησαν.
Ἱεράρχου δύναται, τίς εἰπεῖν πόνους πολλούς; ὡς πλανῶντας κατόρθωσε, καὶ πλανωμένους ὡς τῶν

θείων ναῶν, ἀγαπῶν εὐπρέπειαν, Χριστῷ πιστὸς θεράπων, εὐηρέστησεν.
Θεοτοκίον.
Ὡς τέκνον ἠγάπησας, τὸν Ὅσιον Μαριάμ, Μῆτερ θεοχαρίτωτε, ἀγαλλιάσαντα ἀεί Σε αἰνεῖν, καὶ πολλοὺς δουλεύοντας, τὴν Σὴν πρὸς τὴν λατρείαν, ὁδηγήσαντα.

Κοντάκιον. Ἦχος α΄. Χορὸς ἀγγελικός.
Ηὐφράνθη μυστικῶς τοῦ Θεοῦ Ἐκκλησία, τῇ καταθέσει τοῦ σεπτοῦ σου λειψάνου, καὶ τοῦτο ἀναδείκνυσι, ὡς πηγὴν ἀένναον, τῶν χαρίτων τῶν θείων, σὺ γὰρ ἔνδοξε Ιερομάρτυς πρεσβεύεις, ὑπὲρ τῶν τιμώντων σε.

Συναξάριον.
Τῇ Κ΄ τοῦ αὐτοῦ μηνός, ἡ κατάθεσις τῶν λειψάνων ἐκ τοῦ βραχίονος τοῦ Ἱερομάρτυρος Ἰωσαφάτ, ἐν τῷ ναῷ τῆς Κρυπτοφέῤῥης.

ᾨδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.
Ὤφθης σὺ καλὸς ποιμήν, ζητῶν τὸ πρόβατον, ἀπολωλὸς εὑρὼν καὶ ἀπολαβών, Ἰωσαφὰτ ἐπ’ ὤμοις ἀναφέρεις Θεῷ, ὅθεν κράζουσιν ἐν οὐρανῷ· Εὐλογητὸς εἶ ὁ Θεός, τῶν Πατέρων ἡμῶν.
Σοφῶς καὶ σωφρόνως ἐτράνωσας Ὅσιε, τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ, ἐκπορεύεσθαι θρόνον τ’ ἄρχειν Ῥωμαϊκόν, ὥστε ἐν μιᾷ πίστει βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεός, τῶν Πατέρων ἡμῶν.

Ἀναφοράν σε μαρτυρίῳ προσήνεγξας, ὑπὲρ ἑνώσεως ποίμνης Χριστοῦ, καὶ τῶν πρωτείων Ἱεράρχου Ῥωμαϊκοῦ, ὅθεν ὦ Μάρτυς σὺ νῦν βοᾷς· Εὐλογητὸς εἶ ὁ Θεός, τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ῥητόρων γλῶσσαι ἀσθενοῦσι πανυπέρτατε, Θεοτόκε ἀξίως Σε ὑμνεῖν, Σὺ γὰρ πάντα τὰ ἀόρατα καὶ τὰ ὁρατά, ὑπερέβης πλὴν μόνου Θεοῦ, καὶ Σὲ προσκυνοῦσιν σεπτῶς, τὰ ἄκρα Χερουβίμ.

ᾨδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Φέρων Χριστοῦ εἰκόνα, προεῖπας θάνατον, σοῦ μόνον σοῖς δὲ ἄλλοις, τὸ μὴ ἀπόλλυσθαι, ἀλλ' ἐν προσευχῇ, μένων Μάρτυς προέφθασας, ζωὴν ἐν ᾗ ὑμνεῖς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἀπαντήσας φονοῦντας, ἡδὺς εὐλόγησας, ὡς ὁ Ἄγγελος ὤφθης· αὐτοὺς καὶ ἔπληξας, ἀλλ' ἰδοὺ ἐγώ, εἰπὼν πρὸς μαρτύριον, ἦλθες Ἰωσαφὰτ ἔνδοξος εἰς τοὺς αἰῶνας.

Τὸν ποιμένα ὡς ἄρνα, δυσσεβεῖς ἔκτειναν, καὶ ξύλῳ καὶ ἀξίνῃ, ὅπλοις τε ἅπασιν, ὅτε ἐκβοῶν· Θεός μου ἐτελείωσεν, ἐν οὐρανῷ, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Παῖς φλογὶ τὴν καρδίαν, τῇ θείᾳ καίεται, θνήσκων δὲ μᾶλλον ζήλῳ, καὶ θείῳ ἔρωτι, ἢ ἐχθρᾷ χειρί, Ἰωσαφὰτ τὴν θυσίαν, ἤνεγκε Θεὸν εὐλογῶν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὄρος ἐξ οὗ ἀτμήτως, λίθος κατέρχεται, πόκος τῆς ἄνω δρόσου, κιβωτὸς πάγχρυσος, καὶ κλίμαξ τοῦ Θεοῦ, Σὲ Μαριὰμ ἐτύπωσας, ἣν μόνην Θεὸς ἐξελέξατο Μητέρα.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ὅπως ἐξ Ἐδὼμ νῦν παραγίνεται, Ἰωσαφάτ, ἱματίων ἐκ Βόσορ ἐρύθρημα; οὗτος ὡραῖος ἐν τῇ στολῇ αὐτοῦ, πορφυρέᾳ βλέπω, αὐτοῦ τὴν ἄθλησιν, σὺν ταῖς οὐρανίαις στρατιαῖς, πάντες δοξάζομεν.

Θερμὸν προστάτην πάντες κεκτήμεθα, ἐν οὐρανοῖς, σὲ Μάρτυς Κυρίῳ παριστάμενος, τοὺς πιστοὺς πάντας ἱκέτευε τηρεῖν, ἑνότητα πίστεως, ἵνα ὑμνήσωσιν, ἐν συνδέσμῳ εἰρήνης Θεῷ, τῷ σὲ δοξάζοντι.

Ὁ ζῶν θανὼν τ' ὄψει εἰς μετάνοιαν, ἁμαρτωλούς, ἐκάλεσας Μάρτυς ἐργασάμενος, καὶ ἐν λειψάνοις σου δυνάμεις πολλάς, ἃς καὶ νῦν θαυμάζοντες, τοῦ σοῦ βραχίονος, παρ' ἡμῖν σάρκα καὶ ὀστοῦν, ἐκ πόθου σέβομεν.

Σύμπας θαυμάτων φήμης πεπλήρωται, κόσμος τῶν σῶν, ἕως ἄρτι Ἰωσαφὰτ ἔνδοξε, καὶ νῦν δοξαζόμενος μᾶλλα θερμῶς, πλείῳ χαρίσματα, βρύεις ἄφθονος, τοῖς σὲ αἰνοῦσιν εὐσεβῶς, καὶ ἱκετεύουσιν.

Θεοτοκίον.

Ὑμνεῖν Σοι καὶ τῷ Σῷ θεράποντι, Ἰωσαφάτ, ἐκ πόθου θελόντων Μαριὰμ μέμνησο καί, ὡς ἀεὶ ἀνυμνῶσιν ἐν οὐρανοῖς, αὐτοὺς καθοδήγησον, ἐπὶ γῆς σκέπουσα, διὸ ὑπὲρ ἡμῶν πρὸς Θεόν, Μῆτερ πρέσβευε.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὡς Ἀθλητὴς ὑπάρχων, ἐν τῇ Εκκλησίᾳ στεῤῥός, τῷ μαρτυρίω τὸν δρόμον, σοῦ τελειοῖς διὸ ἡμεῖς, σὲ τοῖς σεπτοῖς ἐν λειψάνοις, τιμῶμεν Πάτερ ὑμνοῦντες.